11 αὐτοῦ ἄρχοντα [11]τῆς διαιρέσεως τῆς δευτέρας, Ταβλαι ὁ τρίτος,
Ζαχαριας ὁ τέταρτος· πάντες οὗτοι, υἱοὶ καὶ ἀδελφοὶ τῷ Ωσα,
12 τρισκαίδεκα. — [12]τούτοις αἱ διαιρέσεις τῶν πυλῶν, τοῖς ἄρχουσι
τῶν δυνατῶν, ἐφημερίαι καθὼς οἱ ἀδελφοὶ αὐτῶν λειτουργεῖν ἐν
13 οἴκῳ κυρίου. [13]καὶ ἔβαλον κλήρους κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν
14 μέγαν κατ' οἴκους πατριῶν αὐτῶν εἰς πυλῶνα καὶ πυλῶνα. [14]καὶ
ἔπεσεν ὁ κλῆρος τῶν πρὸς ἀνατολὰς τῷ Σαλαμια καὶ Ζαχαρια·
υἱοὶ Ιωας τῷ Μελχια ἔβαλον κλήρους, καὶ ἐξῆλθεν ὁ κλῆρος βορ-
15 16 ρᾶ· [15]τῷ Αβδεδομ νότον κατέναντι οἴκου εσεφιν [16]εἰς δεύτερον·
τῷ Ωσα πρὸς δυσμαῖς μετὰ τὴν πύλην παστοφορίου τῆς ἀναβά-
17 σεως· φυλακὴ κατέναντι φυλακῆς. [17] πρὸς ἀνατολὰς ἓξ τὴν ἡμέ-
ραν, βορρᾶ τῆς ἡμέρας τέσσαρες, νότον τῆς ἡμέρας τέσσαρες, καὶ
18 εἰς τὸ εσεφιν δύο· [18]εἰς διαδεχομένους, καὶ πρὸς δυσμαῖς τέσσα-
19 ρες, καὶ εἰς τὸν τρίβον δύο διαδεχομένους. [19]αὗται αἱ διαιρέσεις
τῶν πυλωρῶν τοῖς υἱοῖς Κορε καὶ τοῖς υἱοῖς Μεραρι.
20 [20]Καὶ οἱ Λευῖται ἀδελφοὶ αὐτῶν ἐπὶ τῶν θησαυρῶν οἴκου κυρίου
21 καὶ ἐπὶ τῶν θησαυρῶν τῶν καθηγιασμένων· [21]υἱοὶ Λαδαν υἱοὶ τῷ
Γηρσωνι τῷ Λαδαν, ἄρχοντες πατριῶν τῷ Λαδαν τῷ Γηρσωνι
22 Ιιηλ. [22]καὶ υἱοὶ Ιιηλ Ζεθομ καὶ Ιωηλ οἱ ἀδελφοὶ ἐπὶ τῶν θησαυρῶν
23 24 οἴκου κυρίου. [23]τῷ Αμβραμ καὶ Ισσααρ Χεβρων καὶ Οζιηλ· [24]καὶ
Σουβαηλ ὁ τοῦ Γηρσαμ τοῦ Μωυσῆ ἡγούμενος ἐπὶ τῶν θησαυρῶν.
25 [25]καὶ τῷ ἀδελφῷ αὐτοῦ τῷ Ελιεζερ Ρααβιας υἱὸς καὶ Ιωσαιας καὶ
26 Ιωραμ καὶ Ζεχρι καὶ Σαλωμωθ. [26]αὐτὸς Σαλωμωθ καὶ οἱ ἀδελφοὶ
αὐτοῦ ἐπὶ πάντων τῶν θησαυρῶν τῶν ἁγίων, οὓς ἡγίασεν Δαυιδ

11 της διαιρ. της δευτ. B†] + χελκιας(A† χελχειας) ο δευτερος rel. (sed *L*† hab. χελκ. ο δευτ. tantum et om. της διαιρ. της δευτ.) | ταβλαι] ταβελιας A | ο τεταρτος > B† | τρισκαιδεκα] δεκα τρ(ε)ις Amu. || 12 η διαιρεσις A: cf. 1 || 14 προς] κατα A: cf. 17 | σελεμια Apl.: cf. 1 (μοσολλαμια) | υιοι B†] pr. και compl., υιω Amu., υιω αυτου *L*† | ιωας] ιωιας A†, σωαζ B†, ιωαδ(uel -αβ) βουλευτης *L*† || 15 αβδεδομ: cf. 4 | εσεφ(ε)ιν B†] ασαφειν A: item in 17 || 16 εις δευτερον] τω σεφιειμ A | ωσα: cf. 10 | προς δυσμας Apl. hic et in 18, sed in 30 et in additamento ad 18 etiam Amu. προς δυσμαις | παστοφοριου] pr. του A | φυλακη κατεναντι > A† || 17 προς] κατ A: cf. 14 | τεσσαρες $1^0$ ⌒ $2^0$ A | δυο] + δυο A hoc loco, non in repetitione eorundem uerborum (cf. adnotatio ad 18) || 18 διαδεχ. $1^0$ *L*†] + και τω ιοσσα(V† ιωας, A† ιας) προς δυσμαις μετα την πυλην του παστοφοριου τρεις φυλακη κατεναντι φυλακης της αναβασεως προς ανατολας της ημερας εξ και τω βορρα τεσσαρες και τω νοτω τεσσαρες και εσεφειμ δυο εις διαδεχομενους rel.: ex 16—18 repet., cf. 28 20 || 19 κορε] κααθ B | υιοις ult. > B || 21 λαδαν $1^0$] χαδαν B†, sed B $3^0$ et B† $2^0$ λαδαν; A $1^0$ $2^0$ λεδαν, $3^0$ λααδαν: cf. 7 26 | υιοι τω] ουτοι B† | λαδαν $2^0$] + και ιαιεηλ του ιου υιοι ιειηλ B || 22 και $1^0$ > B† | ι(ε)ιηλ] ιεηλ A†, sed in 21 etiam A ιειηλ: cf. 9 6 | ζοθομ A† | οι αδελφοι] ο -φος αυτου A || 23 αμβραμ] αμραμι A: cf. 5 28 | ισσααρ B*L*†] -ρι rel.: cf. 24 22 || 24 σουβαηλ] σωβιηλ *L*†, ιωηλ B† | ηγουμενος > B† || 25 ραβιας B† | υιος] + αυτου A | ιωσαιας compl.] ωσ. BA